*θρούς:* θόρυβος βοή, μουρμουρητό, ψίθυρος, φήμη, διάδοση.
*περιέχω:* υπερέχω, υπερτερώ, υπερισχύω.
*καρτερός:* ισχυρός, κραταίος, ανδρείος / οχυρός / σταθερός, επίμονος, αμετάθετος
*ἀναλαμβάνω* : μεταστρατοπεδεύω, διαλύω το στρατόπεδο.
*ἄγω* : οδηγώ το στράτευμα (στον Θουκυδ.).
*Ἐς μάχην ἐπεξέρχομαι τινί* : αντιπαρατάσσομαι απέναντι σε κάποιον για μάχη.

ΠΑΡΑΤΗΡΗΣΗ: α) Το **αναγκαστικό αίτιο** προηγείται της έννοιας του ρήματος, ενώ το **τελικό αίτιο** ειναι πάντοτε μέλλουσα πράξη και δηλώνει το σκοπό, στον οποίο αποβλέπει το υποκείμενο του ρηματικού τύπου, τον οποίο προσδιορίζει. β) Το *χρῶμαι* συντάσσεται ή με μιά δοτική ή με δύο ( οπότε η μία είναι κατηγορούμενο της άλλης).

## ΚΕΙΜΕΝΟ 52

Ὑμῖν, ἔφη, ὦ ἐκ τοῦ ἄστεως ἄνδρες, συμβουλεύω ἐγώ γνῶναι ὑμᾶς αὐτούς. Μάλιστα δ' ἄν γνοίητε, εἰ ἀναλογίσαισθε ἐπί τίνι ὑμῖν μέγα φρονητέον ἐστίν, ὥστε ἡμῶν ἄρχειν ἐπιχειρεῖν. Πότερον δικαιότεροί ἐστε; 'Αλλ' ὁ μέν δῆμος πενέστερος ὑμῶν ὤν οὐδέν πώποτε ἕνεκα χρημάτων ὑμᾶς ἠδίκησεν· ὑμεῖς δέ πλουσιώτεροι πάντων ὄντες πολλά καί αἰσχρά ἕνεκα κερδέων πεποιήκατε. Ἐπεί δέ δικαιοσύνης οὐδέν ὑμῖν προσήκει, σκέψασθε εἰ ἄρα ἐπ' ἀνδρείᾳ ὑμῖν μέγα φρονητέον. Καί τίς ἄν καλλίων κρίσις τούτου γένοιτο ἤ ὡς ἐπολεμήσαμεν πρός ἀλλήλους; 'Αλλά γνώμῃ φαίητ' ἄν προέχειν, οἱ ἔχοντες καί τεῖχος καί ὅπλα καί χρήματα καί συμμάχους Πελοποννησίους ὑπό τῶν οὐδέν τούτων ἐχόντων περιείληφθε; 'Αλλ' ἐπί Λακεδαιμονίοις δή οἴεσθε μέγα φρονητέον εἶναι; Πῶς, οἵγε ὥσπερ τούς δάκνοντας κύνας κλοιῷ δήσαντες παραδιδόασιν, οὕτω κἀκεῖνοι ὑμᾶς παραδόντες τῇ ἠδικημένῳ τούτῳ δήμῳ οἴχονται ἀπιόντες; Οὐ μέντοι γε ὑμᾶς, ὦ ἄνδρες, ἀξιῶ ἐγώ ὧν ὀμωμόκατε παραβῆναι οὐδέν, ἀλλά καί τοῦτο πρός τοῖς ἄλλοις καλοῖς ἐπιδεῖξαι, ὅτι καί εὔορκοι καί ὅσιοί ἐστε.

*(ΞΕΝΟΦΩΝΤΑ ΕΛΛΗΝΙΚΑ)*

ΛΕΞΙΛΟΓΙΟ

*μέγα φρονῶ ἐπί τινι:* υπερηφανεύομαι για κάτι
*κρίσις:* κριτήριο, απόδειξη
*γνώμη:* φρόνημα, ευψυχία
*περιλαμβάνομαι:* οδηγούμαι σε δυσχερή θέση
*κλοιός* : περιλαίμιο, «λαιμαριά»

### ΤΑ ΕΙΔΗ ΤΟΥ *ΑΝ*

**Υποθετικό**: εισάγει **υποθετικές προτάσεις** που εκφέρονται με **υποτακτική** και σχηματίζουν **υποθετικό λόγο** που δηλώνει το **προσδοκώμενο** ή το **αορίστως επαναλαμβανόμενο** στο παρόν και το μέλλον.

Δυνητικό: με **οριστική** -> δυνητική οριστική, με **ευκτική**-> δυνητική ευκτική.

**Αοριστολογικό:** σημαίνει **αβεβαιότητα, αοριστία.** Συντάσσεται πάντοτε με **υποτακτική** και συνοδεύει **αναφορικές αντωνυμίες** ή **αναφορικά** ή **χρονικά επιρρήματα**, καθώς και τους συνδέσμους *ὅπως* και *ὡς*, όταν εισάγουν τελικές ή πλάγιες ερωτηματικές προτάσεις.

**Ερμηνεία**: α) ίσως, ενδεχομένως, β) -δήποτε.

**Ποιες προτάσεις σχηματίζουν υποθετικό λόγο** :

**α.** οι **υποθετικές** προτάσεις
**β.** οι **αναφορικοϋποθετικές** προτάσεις
**γ.** οι **χρονικοϋποθετικές** προτάσεις
**δ.**Όλες οι **ελλειπτικά εκφερόμενες μορφές υπόθεσης** (π.χ. υπόθεση ελλείπουσα και συμπληρούμενη από τα συμφραζόμενα, λανθάνοντες υποθετικοί λόγοι υποθετικές μετοχές.)

ΠΡΟΣΟΧΗ: Αναζητούμε την απόδοση όχι μόνο σε κύριες, αλλά και σε κάθε δευτερεύουσα πρόταση (ακόμη και σε άλλες υποθετικές), ή - εάν έχουμε πλάγιο λόγο - σε απαρέμφατα και κατηγορηματικές μετοχές.

## ΚΕΙΜΕΝΟ 53

Οὐ μόνον δέ δεῖ ταῦτα γιγνώσκειν, οὐδέ τοῖς ἔργοις ἐκεῖνον ἀμύνεσθαι τοῖς τοῦ πολέμου, ἀλλά καί τῷ λογισμῷ καί τῇ διανοίᾳ τούς παρ' ὑμῖν ὑπέρ αὐτοῦ λέγοντας μισῆσαι, ἐνθυμουμένους ὅτι οὐκ ἔνεστι τῶν τῆς πόλεως ἐχθρῶν κρατῆσαι, πρίν ἄν τούς ἐν αὐτῇ τῇ πόλει κολάσηθ' ὑπηρετοῦντας ἐκείνοις. Ὁ μά τόν Δία καί τούς ἄλλους θεούς οὐ δυνήσεσθ' ὑμεῖς ποιῆσαι, ἀλλ' εἰς τοῦτ' ἀφῖχθε μωρίας ἤ παρανοίας ἤ οὐκ ἔχω τί λέγω (πολλάκις γάρ ἔμοιγ' ἐπελήλυθε καί τοῦτο φοβεῖσθαι, μή τι δαιμόνιον τά πράγματ' ἐλαύνῃ), ὥστε λοιδορίας, φθόνου σκώμματος, ἧστινος ἄν τύχηθ' εἵνεκ' αἰτίας, ἀνθρώπους μισθωτούς, ὧν οὐδ' ἄν ἀρνηθεῖεν ἔνιοι ὡς οὐκ εἰσίν τοιοῦτοι, λέγειν κελεύετε, καί γελᾶτ' , ἄν τισιν λοιδορηθῶσιν. Καί οὐχί πω τοῦτο δεινόν, καίπερ ὄν δεινόν· ἀλλά καί μετά πλείονος ἀσφαλείας πολιτεύεσθαι δεδώκατε τούτοις, ἤ τοῖς ὑπέρ ὑμῶν λέγουσιν. Καίτοι θεάσασθ' ὅσας συμφοράς παρασκευάζει τό τῶν τοιούτων ἐθέλειν ἀκροᾶσθαι. Λέξω δ' ἔργα ἅ πάντες εἴσεσθε.

*(ΔΗΜΟΣΘΕΝΟΥΣ, ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Γ.)*

**ΛΕΞΙΛΟΓΙΟ**

*ἀμύνομαί τινα:* αποκρούω κάποιον
*ὑπηρετῶ τινι:* εξυπηρετώ τα συμφέροντα κάποιου
*σκῶμμα:* εμπαιγμός, χλευασμός
*λοιδορέω-ῶ και λοιδοροῦμαι:* προσβάλλω, κακολογώ, υβρίζω (το λοιδορῶ συντάσσεται με αιτιατική, ενώ το λοιδοροῦμαι με δοτική)
*δίδωμι τινί* + *απαρέμφατο:* επιτρέπω σε κάποιον να...

### Α. ΜΕΣΑ ΡΗΜΑΤΑ

Α. **ΜΕΣΑ ΑΝΤΑΝΑΚΛΑΣΤΙΚΑ:** σημαίνουν ενέργεια του υποκειμένου, η οποία επιστρέφει σε αυτό το ίδιο.

1. **μέσα ευθέα ή αυτοπαθή:** σημαίνουν ενέργεια, η οποία επιστρέφει στο ίδιο το υποκείμενο αμέσως και κατ' ευθείαν.

π.χ. *γυμνάζομαι:* γυμνάζω ἐμαυτόν, ὁπλίζεσθε: οπλίζετε ὑμᾶς αὐτούς

2. **μέσα πλάγια** σημαίνουν ενέργεια, η οποία επιστρέφει στο υποκείμενο εμμέσως και πλαγίως.

α. **μέσα διάμεσα** σημαίνουν ότι το υποκείμενο ενεργεί δια μέσου άλλου και η ενέργεια επιστρέφει στο ίδιο.

π.χ. *κείρομαι* (βάζω τον κουρέα να με κουρέψει), ὁ πατήρ τούς παῖδας παιδεύεται (εκπαιδεύει μέσω των διδασκάλων).

β. **μέσα περιποιητικά ή μέσα ωφέλειας**: σημαίνουν ενέργεια, την οποία εκτελεί ή προκαλεί το υποκείμενο χάριν ἑαυτοῦ, δηλ. προς χρῆσιν του ἤ πρός ωφέλειαν του. *π.χ. οἰκοδομοῦμαι οἰκίαν (οικοδομώ την οικίαν μου μέσω των οικοδόμων για να την χρησιμοποιήσω ο ίδιος), ἄγομαι γυναῖκα (παίρνω γυναίκα ως σύζυγό μου)*

**στερεότυπες εκφράσεις:** ***τίθεμαι ή γράφομαι νόμους*** (όταν γίνεται λόγος για την πόλη ή για το λαό), αλλά ***τίθημι ή γράφω νόμον*** (οταν γίνεται λόγος για τον νομοθέτη). *π.χ. Σόλων τοῖς 'Αθηναίοις νόμους ἔθηκεν ἤ ἔγραψε, οἱ Αθηναῖοι νόμους ἔθεντο ἤ ἐγράψαντο.*

**Β. ΜΕΣΑ ΑΛΛΗΛΟΠΑΘΗ:** σημαίνουν αλληλοπάθεια, δηλ. μια κοινή ενέργεια δύο ή περισσότερων υποκειμένων, η οποία μεταβαίνει από το ένα στο άλλο. π.χ. συμβαλόντες τάς ἀσπίδας ἐωθοῦντο (ἐώθουν ἀλλήλους), φιλοῦνται, μισοῦνται (φιλοῦσιν, μισοῦσιν ἀλλήλους)...

**Γ. ΜΕΣΑ ΔΥΝΑΜΙΚΑ:** δηλώνουν αυτενέργεια του υποκειμένου, το οποίο ενεργεί με όλα τα μέσα και τις δυνάμεις του.

π.χ. παρέχομεν τοῖς συμμάχοις ναῦς (παρέχω στους συμμάχους πλοία, για την ναυπήγηση των οποίων εγώ φρόντισα και δαπάνησα)

*Ετσι,* **πολιτεύω**: είμαι πολίτης, ενώ **πολιτεύομαι**: ενεργώ ως πολίτης, μετέχω στα πράγματα της πολιτείας, **πρεσβεύω**: είμαι πρεσβευτής ενώ: **πρεσβεύομαι**: ενεργώ ως πρεσβευτής ή διαπραγματεύομαι διά πρεσβευτών, ***ποιοῦμαι πόλεμον, συμμαχίαν, εἰρήνην*** κ.ο.κ.: με δικές μου ενέργειες προκαλώ, γίνομαι υπαίτιος πολέμου στον οποίο ο ίδιος συμμετέχω.

## ΚΕΙΜΕΝΟ 54

Ὡς δ' ἐν κεφαλαίῳ εἰρῆσθαι, ἐάν μέν κολάζητε τούς ἀδικοῦντας, ἔσονται ὑμῖν οἱ νόμοι καλοί καί κύριοι, ἐάν δ' ἀφιῆτε, καλοί μέν, κύριοι δ' οὐκέτι. Ὧν δ' ἕνεκα ταῦτα λέγω, οὐκ ὀκνήσω πρός ὑμᾶς παρρησιάζεσθαι. Ἔσται δ' ὁ λόγος ἐπί παραδείγματος. Διά τί οἴεσθε, ὦ 'Αθηναῖοι, τούς νόμους μέν καλῶς κεῖσθαι, τά δέ ψηφίσματα εἶναι τῆς πόλεως καταδεέστερα, καί τάς κρίσεις ἐνίοτε τάς ἐν τοῖς δικαστηρίοις ἔχειν ἐπιπλήξεις; Ἐγώ τάς τούτων αἰτίας ἐπιδείξω. Ὅτι τούς μέν νόμους τίθεσθε ἐπί πᾶσι τοῖς δικαίοις,οὔτε κέρδους ἕνεκ' ἀδίκου, οὔτε χάριτος οὔτε ἔχθρας, ἀλλά πρός αὐτό μόνον τό δίκαιον καί τό συμφέρον ἀποβλέποντες· ἐπιδέξιοι δ' οἶμαι φύντες ἑτέρων μᾶλλον εἰκότως καλλίστους νόμους τίθεσθε. Ἐν δέ ταῖς ἐκκλησίαις καί τοῖς δικαστηρίοις πολλάκις ἀφέμενοι τῶν εἰς αὐτό τό πρᾶγμα λόγων, ὑπό τῆς ἀπάτης καί τῶν ἀλοζονευμάτων, ὑπάγεσθε, καί πάντων

ἀδικώτατον ἔθος εἰς τούς ἀγῶνας παραδέχεσθε· ἐᾶτε γάρ τούς ἀπολογουμένους ἀντικατηγορεῖν τῶν κατηγόρων. Ἐπειδάν δ' ἀπό τῆς ἀπολογίας ἀποσπασθῆτε καί τάς ψυχάς ἐφ' ἑτέρων γένησθε, εἰς λήθην ἐμπεσόντες τῆς κατηγορίας, ἐξέρχεσθ' ἐκ τῶν δικαστηρίων οὐδέ παρ' ἑτέρου δίκην εἰληφότες, οὔτε παρά τοῦ κατηγόρου - ψῆφος γάρ κατ' αὐτοῦ οὐ δίδοται - οὔτε παρά τοῦ ἀπολογουμένου - ταῖς γάρ ἀλλοτρίαις αἰτίαις ἀποτριψάμενος τά ὑπάρχοντα αὐτῷ ἐγκλήματα ἐκπέφευγεν ἐκ τοῦ δικαστηρίου· οἱ δέ νόμοι καταλύονται καί ἡ δημοκρατία διαφθείρεται καί τό ἔθος ἐπί πολύ προβαίνει· εὐχερῶς γάρ ἐνίοτε λόγον ἄνευ χρηστοῦ βίου προσδέχεσθε.

*(ΑΙΣΧΙΝΗ ΚΑΤΑ ΤΙΜΑΡΧΟΥ)*

## ΛΕΞΙΛΟΓΙΟ

*τό κεφάλαιον:* το κυριότερο, το ουσιώδες μέρος του λόγου, της υποθέσεως, το συμπέρασμα, η περίληψη

*ὡς ἐν κεφαλαίῳ εἰπεῖν:* για να συγκεφαλαιώσω, για να μιλήσω συμπερασματικά

*ἀφίημι τινά:* απαλλάσσω, αθωώνω κάποιον

*οὐκέτι:* όχι πλέον

*οὔπω:* όχι ακόμα

*ὀκνέω-ῶ + απρμφ.:* διστάζω, δειλιάζω να πράξω κάτι

*παρρησιάζομαι:* λέω με παρρησία, μιλώ ελεύθερα

*καταδεέστερος:* υποδεέστερος, κατώτερος

*ἀφίεμαί τινος:* αφήνω, παρατάω, εγκαταλείπω, παραμερίζω κάποιον ή κάτι

*ἀλαζόνευμα:* κομπασμός, «παχιά λόγια», καυχησιολογία.

*ὑπάγομαι:* (παθητ): παρασύρομαι

*ἀποσπῶμαι:* απομακρύνομαι

γίγνομαι ἐπί τινος: ασχολούμαι, καταγίνομαι με κάτι

*ἀποτρίβομαί τι:* αποκρούω, απομακρύνω, αποσοβώ (Σημ: το ι είναι μακρό, εκτός από τον ενεργητικό παρακείμενο καί τον παθητικό μέλλοντα καί αόριστο)

*προσδέχομαι:* αποδέχομαι

## ΚΕΙΜΕΝΟ 55

Ἐκεῖνο δέ οὐ φανερόν, ἔφη, ὅτι διά μέν τό εἰδέναι ἑαυτούς πλεῖστα ἀγαθά πάσχουσιν οἱ ἄνθρωποι, διά δέ τό ἐψεῦσθαι ἑαυτῶν πλεῖστα κακά; οἱ μέν γάρ εἰδότες ἑαυτούς τά τε ἐπιτήδεια ἑαυτοῖς ἴσασι καί διαγιγνώσκουσιν ἅ τε δύνανται καί ἅ μή· καί ἅ μέν ἐπίστανται πράττοντες πορίζονταί τε ὧν δέονται καί εὖ πράττουσιν, ὧν δέ μή ἐπίστανται ἀπεχόμενοι ἀναμάρτητοι γίγνονται καί διαφεύγουσι τό κακῶς πράττειν· διά τοῦτο δέ καί τούς ἄλλους ἀνθρώπους δυνάμενοι δοκιμάζειν καί διά τῆς τῶν ἄλλων χρείας τά τε ἀγαθά πορίζονται καί τά κακά φυλάττονται. Οἱ δέ μή εἰδότες, ἀλλά διεψευσμένοι τῆς ἑαυτῶν δυνάμεως πρός τε τούς ἄλλους ἀνθρώπους καί τἆλλα ἀνθρώπινα πράγματα ὁμοίως διάκεινται, καί οὔτε ὧν δέονται ἴσασιν οὔτε ὅ τι πράττουσιν οὔτε οἷς χρῶνται, ἀλλά πάντων τούτων διαμαρτάνοντες τῶν τε ἀγαθῶν ἀποτυγχάνουσι καί τοῖς κακοῖς περιπίπτουσι. Καί οἱ μέν εἰδότες ὅ,τι ποιοῦσιν, ἐπιτυγχάνοντες ὧν πράττουσι, εὔδοξοί τε καί τίμιοι γίγνονται· καί οἵ τε ὅμοιοι τούτοις ἡδέως χρῶνται, οἵ τε ἀποτυγχάνοντες τῶν πραγμάτων ἐπιθυμοῦσι τούτους ὑπέρ αὐτῶν βουλεύεσθαι, καί προΐστασθαί γε αὐτῶν τούτους, καί τάς ἐλπίδας τῶν ἀγαθῶν ἐν

τούτοις ἔχουσι, καί διά (πάντα) ταῦτα πάντων μάλιστα τούτους ἀγαπῶσιν. Οἱ δ᾽ μή εἰδότες ὅ τι ποιοῦσι, κακῶς τε αἱρούμενοι καί οἷς ἄν ἐπιχειρήσωσι ἀποτυγχάνοντες, οὐ μόνον ἐν αὐτοῖς τούτοις ζημιοῦνταί τε καί κολάζονται, ἀλλά καί ἀδοξοῦσι διά ταῦτα καί καταγέλαστοι γίγνονται καί καταφρονούμενοι καί ἀτιμαζόμενοι ζῶσιν. Ὁρᾷς δέ καί τῶν πόλεων ὅτι ὅσαι ἄν ἀγνοήσασαι τήν ἑαυτῶν δύναμιν κρείττοσι πολεμήσωσιν, αἱ μέν ἀνάστατοι γίγνονται, αἱ δ᾽ ἐξ ἐλευθέρων δοῦλαι.

*(ΞΕΝΟΦΩΝΤΑ ΑΠΟΜΝΗΜΟΝΕΥΜΑΤΑ)*

<u>ΛΕΞΙΛΟΓΙΟ</u>

*<u>ἀνάστατος γίγνομαι</u>* : καταστρέφομαι, ερημώνομαι
*<u>πάσχω ἀγαθά:</u>* απολαμβάνω αγαθά
*<u>ψεύδομαί τινος:</u>* απατώμαι, πλανιέμαι σε κάτι
*<u>διαγιγνώσκω:</u>* διακρίνω, γνωρίζω καλά, έχω σαφή αντίληψη
*<u>εὔδοξος:</u>* ευυπόληπτος, ένδοξος. Με παραπλήσια σημασία εδώ το τίμιος.
*<u>ἀδοξέω-ῶ:</u>* έχω κακό όνομα, αποκτώ κακή φήμη.
*<u>προΐσταμαι τινός:</u>* τίθεμαι επικεφαλής, ηγούμαι, διοικώ, διευθύνω.
*<u>ἀγαπῶ</u>* : α) + αιτ. : αγαπώ, εκτιμώ κάποιον
β) + δοτ. : αρκούμαι, ικανοποιούμαι

## ΚΕΙΜΕΝΟ 56

Τοῖς δέ ναύταις παραινῶ καί ἐν τῷ αὐτῷ τῷδε καί δέομαι μή ἐκπεπλῆχθαί τι ταῖς ξυμφοραῖς ἄγαν, τήν τε παρασκευήν ἀπό τῶν καταστρωμάτων βελτίω νῦν ἔχοντας καί τάς ναῦς πλείους, ἐκείνην τε τήν ἡδονήν ἐνθυμεῖσθαι ὡς ἀξία ἐστί διασώσασθαι, οἳ τέως 'Αθηναῖοι νομιζόμενοι, καί μή ὄντες, ἡμῶν τῆς τε φωνῆς τῇ τε ἐπιστήμῃ καί τῶν τρόπων τῇ μιμήσει ἐθαυμάζεσθε κατά τήν Ἑλλάδα, καί τῆς ἀρχῆς τῆς ἡμετέρας οὐκ ἔλασσον κατά τό ὠφελεῖσθαι, ἔς τε τό φοβερόν τοῖς ὑπηκόοις καί τό ἀδικεῖσθαι (πολύ πλεῖον), μετείχετε. Ὥστε κοινωνοί μόνοι ἐλευθέρως ἡμῖν τῆς ἀρχῆς ὄντες δικαίως αὐτήν νῦν μή καταπροδίδοτε, καταφρονήσαντες δέ Κορινθίων τε, οὓς πολλάκις νενικήκατε, καί Σικελιωτῶν, ὧν οὐδ᾽ ἀντιστῆναι οὐδείς ἕως ἤκμαζε το ναυτικόν ἡμῖν ἠξίωσεν, ἀμύνασθε αὐτούς καί δείξατε ὅτι καί μετ᾽ ἀσθενείας καί ξυμφορῶν ἡ ὑμετέρα ἐπιστήμη κρείσσων ἐστίν ἑτέρας εὐτυχούσης ρώμης. Τούς τέ 'Αθηναίους ὑμῶν πάλιν αὖ καί τάδε ὑπομιμνήσκω, ὅτι οὔτε ναῦς ἐν τοῖς νεωσοίκοις ἄλλας ὁμοίας ταῖσδε οὔτε ὁπλιτῶν ἡλικίαν ὑπελίπετε, εἴ τε ξυμβήσεταί τι ἄλλο ἤ τό κρατεῖν ὑμῖν, τούς τε ἐνθάδε πολεμίους εὐθύς ἐπ᾽ ἐκεῖνα πλευσομένους καί τούς ἐκεῖ ὑπολοίπους ἡμῶν ἀδυνάτους ἐσομένους τούς τε αὐτοῦ καί τούς ἐπελθόντας ἀμύνασθαι. Καί οἱ μέν ἄν ὑπό Συρακοσίοις εὐθύς γίγνοισθε, οἷς αὐτοί ἴστε οἵᾳ γνώμῃ ἐπήλθετε, οἱ δέ ἐκεῖ ὑπό Λακεδαιμονίοις. Ὥστε ἐν ἑνί τῷδε ὑπέρ ἀμφοτέρων ἀγῶνι καθεστῶτες καρτερήσατε, εἴπερ ποτέ, καί ἐνθυμεῖσθε καθ᾽ ἑκάστους τε καί ξύμπαντες ὅτι οἱ ἐν ταῖς ναυσίν ὑμῶν νῦν ἐσόμενοι καί πεζοί τοῖς 'Αθηναίοις εἰσί καί νῆες καί ἡ ὑπόλοιπος πόλις καί τό μέγα ὄνομα τῶν 'Αθηνῶν, περί ὧν, εἴ τις τι ἕτερος ἑτέρου προφέρει ἤ ἐπιστήμῃ ἤ εὐψυχίᾳ, οὐκ ἄν ἐν ἄλλῳ μᾶλλον καιρῷ ἀποδειξάμενος αὐτός τε αὑτῷ ὠφέλιμος γένοιτο καί τοῖς ξύμπασι σωτήριος.

*(ΘΟΥΚΥΔΙΔΟΥ ΙΣΤΟΡΙΑ)*

## ΛΕΞΙΛΟΓΙΟ

*ἐκπλήσσομαι:* τρομοκρατούμαι, πανικοβάλλομαι
*ἡ ἐπιστήμη τῆς φωνῆς:* η γνώση της διαλέκτου
*νεώσοικος:* ναύσταθμος
*γίγνομαι ὑπό τινι:* υποτάσσομαι, υποδουλώνομαι σε κάποιον
*προφέρω* : υπερέχω

## ΚΕΙΜΕΝΟ 57

Ὦ ἄνδρες βουλευταί, εἰ μέν τις ὑμῶν νομίζει πλέονας τοῦ καιροῦ ἀποθνήσκειν, ἐννοησάτω ὅτι ὅπου πολιτεῖαι μεθίστανται πανταχοῦ ταῦτα γίγνεται· πλείστους δέ ἀνάγκη ἐνθάδε πολεμίους εἶναι τοῖς εἰς ὀλιγαρχίαν μεθιστᾶσι διά τε τό πολυανθρωποτάτην τῶν Ἑλληνίδων τήν πόλιν εἶναι καί διά τό πλεῖστον χρόνον ἐν ἐλευθερίᾳ τόν δῆμον τεθράφθαι. Ἡμεῖς δέ γνόντες μέν τοῖς οἵοις ἡμῖν τε καί ὑμῖν χαλεπήν πολιτείαν εἶναι δημοκρατίαν, γνόντες δέ ὅτι Λακεδαιμονίοις τοῖς περισώσασιν ἡμᾶς ὁ μέν δῆμος οὔποτ' ἄν φίλος γένοιτο, οἱ δέ βέλτιστοι ἀεί ἄν πιστοί διατελοῖεν, διά ταῦτα σύν τῇ Λακεδαιμονίων γνώμῃ τήνδε τήν πολιτείαν καθίσταμεν. καί ἐάν τινα αἰσθανώμεθα ἐναντίον τῇ ὀλιγαρχίᾳ ὅσον δυνάμεθα ἐκποδών ποιούμεθα· πολύ δέ μάλιστα δοκεῖ ἡμῖν δίκαιον εἶναι, εἴ τις ἡμῶν αὐτῶν λυμαίνεται ταύτῃ τῇ καταστάσει, δίκην αὐτόν διδόναι.

*(ΞΕΝΟΦΩΝΤΟΣ ΕΛΛΗΝΙΚΑ)*

## ΛΕΞΙΛΟΓΙΟ

*μεθίστημι :* μεταθέτω, μετατοπίζω, μεταφέρω / εξορίζω / μεταβάλλω
*μεθίσταμαι:* αλλάζω θέση, μετατοπίζομαι, μεταβάλλομαι
*δῆμος :*α) το σύνολο των πολιτών, β) οι δημοκρατικοί.
*ἐκποδών ἀπαλλάσομαι:* χάνομαι, γίνομαι άφαντος
*ἐκποδών γίγνομαι:* αφανίζομαι, καταστρέφομαι, «βγαίνω από τη μέση»
*ἐκποδών ἔχω ἤ ἄγω τινά :* απομακρύνω, αφανίζω.
*ἐκποδών ποιοῦμαι τινά:* ξεκάνω, αφανίζω, «βγάζω από τη μέση» κάποιον.

## ΣΥΝΤΑΚΤΙΚΗ ΠΑΡΑΤΗΡΗΣΗ

**Σε Θέση κατηγορουμένου κατά κανόνα βρίσκονται** :

**α. ἄναρθρα επίθετα,** όταν προτάσσονται ή επιτάσσονται συνάρθρων ουσιαστικών
π.χ τῆς ἀρετῆς ἀθάνατον τήν μνήμην ἐποίησαν (= ἡ μνήμη, ἥν ἐποίησαν, ἀθάνατος ἦν)
πτηνάς διώκεις τάς ἐλπίδας (= αἱ ἐλπίδαι, ἃς διώκεις, πτηναί εἰσίν)
εἶχε τάς ἐπιθυμίες πολλάς ( = αἱ ἐπιθυμίαι, ἃς εἶχε πολλαί ἦσαν)
ταῖς ἐξουσίαις ὁμοίαις χρῶμαι, (Ισοκρατ. 12,40)
ἡγοῦνται αὐτονόμων τῶν συμμάχων (Θουκ. Α' , 97)
ἀναφανήσονται πολλοί οἱ μισοῦντες αὐτούς (ξεν. Ἑλλην. Γ' , 5, 11)

**β. αντωνυμίες δεικτικές, αναφορικές και ερωτηματικές.**

π.χ τάς ἐλπίδας ἔχω τοιαύτας.
ἀναγκαῖον ἐστι και τοῖς λόγοις τοιούτοις χρῆσθαι.
οὐδέν ἐδήλουν ὁποῖόν τι τό μέλλον ποιήσουσιν.

**γ. ερωτηματικές αντωνυμίες** και **άναρθρα επίθετα,** όταν προσδιορίζουν **δεικτικές αντωνυμίες.**

π.χ τί τοῦτ' ἔλεξας; (= τί ἔστι τοῦτο, ὃ ἔλεξας; )
τί να τόνδε μῦθον εἶπας; (Εὐρ. Φοιν.915 = τίς ἔστιν ὅδε ὁ μῦθος, ὃν εἶπας;
τοῦτο παντελῶς εὔηθες ὃ φήθης (Δημ. 18,11 = εὔηθες ἐστι τοῦτο, ᾠήθης)
τοῦτο οὐδέν θαυμαστόν λέγεις (Πλατ. Πρωτ. 318 Β = οὐδέν θαυμαστόν ἐστι τοῦτο ὃ λέγεις).
οὐχ ἁπλοῦν ἔτι τοῦτο ἐρωτᾷς.

**δ. άναρθρες μετοχές,** όταν συνοδεύουν σύναρθρα ουσιαστικά, οπότε συνήθως η μετοχή ισοδυναμεί με αφηρημένο ουσιαστικό, το δε σύναρθρο ουσιαστικό με γενική προσδιοριστική.

π.χ οἱ Πελοποννήσιοι ἅμα τῷ σίτῳ ἀκμάζοντι ἐστράτευσαν (Θουκ. 3,1 = ἅμα τῇ ἀκμῇ τοῦ σίτου).
τῷ σίτῳ ἐπιλιπόντι ἐπιέζοντο (Θουκ. 3, 20 = τῇ ἐπιλείψει τοῦ σίτου).
ἅμα ἦρι ἀρχόμενῳ (Θουκ. 2,2).
ἔχει τήν ψυχήν εὑρεῖν καί μαθεῖν δυναμένην (Ἰσοκρ. 15.189)
ἀπήγαγαν τόν ἄνδρα μεγάλῃ τῇ φωνῇ δηλοῦντα οἷα ἔπασχεν (Ξεν. Ἑλλ. Α', 3, 56).

## ΓΡΑΜΜΑΤΙΚΗ ΠΑΡΑΤΗΡΗΣΗ

1. Ενεργητικός και μέσος μέλλοντας των υγρολήκτων και ενρινόληκτων ρημάτων:

**Σχηματίζεται** με τις καταλήξεις *-ῶ* καί *-οῦμαι,* οι οποίες προκύπτουν από συναίρεση των *-έσω* καί *-έσομαι* μετά την αποβολή του ενδοφωνηεντικού *-σ-*.
ΣΗΜΕΙΩΣΗ. Το *-ε-* θεωρείται προσαύξηση.
Κλίνεται όπως ο ενεστώτας (ενεργητικός και μέσος) των συνηρημένων σε *-έω.*
π.χ νεμ-ὲ-σω > νεμ - έ - ω > νεμῶ

| | | ΟΡΙΣΤΙΚΗ | ΥΠΟΤ/ΚΗ | ΕΥΚΤΙΚΗ | ΠΡΟΣΤ/ΚΗ | ΑΠΑΡ.ΜΕΤΟΧΗ |
|---|---|---|---|---|---|---|
| ΜΕΛΛΩΝ | Εν/κο | στελ -ῶ<br>στελ -εῖς<br>στελ -εῖ<br>στελ -οῦ-μεν<br>στελ -εῖτε<br>στελ -οῦσι (ν) | | στελ-οῖμι (-οίην)<br>στελ-οῖς (-οίης)<br>στελ-οῖ (-οίη)<br>στελ-οῖ-μεν<br>στελ-οῖ-τε<br>στελ-οῖε-ν | | στελεῖν<br>---<br>στελ-ῶν<br>στελ-οῦσα<br>στελ-οῦν |
| | Μέσο | στελ -οῦ-μαι<br>στελ -ῇ (εῖ)<br>στελ -εῖ-ται<br>στελ -ού-μεθα<br>στελ -εῖ-σθε<br>στελ -οῦ-νται | | στελ-οί -μην<br>στελ-οῖ-ο<br>στελ-οῖτ-ο<br>στελ-οί-μεθα<br>στελ-οῖ-σθε<br>στελ-οῖ-ντο | | στελ-εῖσθαι<br>---<br>στελ-ού-μενος<br>στελ-ου-μένη<br>στελ-ού-μενον |

## 2. Α τ τ ι κ ό ς μ έ λ λ ο ν τ α ς

Οσα ρήματα πρίν από την κατάληξη -σω καί -σομαι του ενεργητικού καί μέσου μέλλοντα αντιτοίχως έχουν βραχύ φωνήεν *(α, ε, ι)* αποβάλλουν το -σ- μεταξύ φωνηέντων καί τα δύο φωνήεντα, που συναντώνται, (το θεματικό καί το ληκτικό) συναιρούνται σε -ῶ καί -οῦμαι. Ο μέλλοντας αυτός ονομάζεται Αττικός καί είναι σπανιότατος στην ευκτική.

*<u>ΣΗΜΕΙΩΣΗ:</u> Κατά τον Κόντο είναι αμφίβολο εάν οι Αττικοί συγγραφείς μεταχειρίζονταν καί το κοινό μέλλοντα εκείνων των ρημάτων, που έχουν τον Αττικό.*

**Αττικό** μέλλοντα σ χ η μ α τ ί ζ ο υ ν τα ακόλουθα ρήματα:

**α. τα** *καλέω, τελέω, ἐλαύνω* ( θέτω σε κίνηση, διώχνω), *μάχομαι καί μερικά άλλα.*
**β. τα**: υπερδισύλλαβα σε *-ιζω* : *νομίζω, βαδίζω, καθίζω* κ.α.
**γ.** λίγα ρήματα σε *-αζω*: *βιβάζω, ἐξετάζω κ.α.*
**δ. όσα** λήγουν σε *-άννυμι*: *σκεδάννυμι, κρεμάννυμι κ.α*
**ε. τα**: *ὄμνυμι, ὄλλυμι, ἀμφιέννυμι.*

## ΚΕΙΜΕΝΟ 58

Τοσούτων τοίνυν ἡμῖν ὑπαρχόντων οὗτοι, καί συγγενεῖς ὄντες καί οὐδέν δίκαιον εἰπεῖν ἔχοντες οὐκ αἰσχύνονται καταστήσαντες ἡμᾶς εἰς ἀγῶνα περί τούτων, περί ὧν αἰσχρόν ἦν ἀμφισβητῆσαι καί τοῖς μηδέν προσήκουσιν. Οὐχ ὁμοίως δέ μοι δοκοῦμεν, ὦ ἄνδρες, διακεῖσθαι πρός ἀλλήλους. Ἐγώ μέν γάρ οὐχ ὅτι ἀδίκως κινδυνεύω, τοῦθ᾽ ἡγοῦμαι μέγιστον εἶναι τῶν παρόντων κακῶν, ἀλλ᾽ ὅτι ἀγωνίζομαι πρός οἰκείους, οὓς οὐδ᾽ ἀμύνεσθαι καλῶς ἔχει· οὐ γάρ ἄν ἐλάττω συμφοράν ἡγησαίμην κακῶς ποιεῖν τούτους ἀμυνόμενος, οἰκείους ὄντας, ἤ κακῶς παθεῖν ἐξ ἀρχῆς ὑπό τούτων. Οὗτοι δ᾽ οὐ τοιαύτην ἔχουσιν τήν γνώμην, ἀλλ᾽ ἥκουσιν ἐφ᾽ ἡμᾶς καί τούς φίλους παρακαλέσαντες καί ῥήτορας παρασκευασάμενοι καί οὐδέν ἀπολείποντες τῆς αὐτῶν δυνάμεως, ὥσπερ, ὦ ἄνδρες, ἐχθρούς τιμωρησόμενοι, καί οὐκ ἀναγκαίους καί συγγενεῖς κακῶς ποιήσοντες.

***(ΙΣΑΙΟΥ, Περί του Κλεωνύμου κλήρου)***

### <u>ΛΕΞΙΛΟΓΙΟ</u>

*<u>καθίστημι τινά εἰς ἀγῶνα:</u>* εμπλέκω κάποιον σε δίκη, παραπέμπω κάποιον σε δίκη, σύρω στα δικαστήρια.
*<u>ἀμφισβητέω -ῶ:</u>* α) τινός = διεκδικώ.
β) τινί περί τινός = φιλονικώ, ερίζω.
*<u>οἱ μηδέν προσήκοντες</u>* = οι μη συγγενείς, οι ξένοι
*<u>ἀγωνίζομαι προς τινα</u>* = αντιδικώ με κάποιον
*<u>ἀμύνομαί τινα</u>* = αποκρούω κάποιον.
*<u>παρασκευάζομαι (ῥήτορα)</u>* = προσάγω, φέρνω, προμηθεύομαι, προσλαβμάνω.
*<u>οὐδέν ἀπολείπομαι τῆς ἐμαυτοῦ δυνάμεως</u>* = εξαντλώ τη δύναμή μου.
*<u>οἱ ἀναγκαῖοι</u>* = οι οικείοι, οι στενοί συγγενείς.
*<u>εὖ ποιῶ τινά</u>* : ευεργετώ κάποιον (παθητ. : *εὖ πάσχω ὑπό τινός*)

*κακῶς ποιῶ τινα* : βλάπτω κάποιον (παθητ. : *κακῶς πάσχω ὑπό τινός*)

## *ΣΥΝΤΑΚΤΙΚΟ*

| ΑΝΑΦΟΡΙΚΕΣ ΠΑΡΑΒΟΛΙΚΕΣ Ή ΣΥΚΡΙΤΙΚΕΣ ΠΡΟΤΑΣΕΙΣ | | |
|---|---|---|
| *ΕΙΣΑΓΟΝΤΑΙ* | *ΕΚΦΕΡΟΝΤΑΙ* | *ΠΑΡΑΔΕΙΓΜΑΤΑ* |
| 1) Με τις αντωνυμίες: *οἷος, ὁποῖος, ὅσος, ὁπόσος...* 2) Με τα αναφορ. παραβολικά επιρρήματα: *ὡς, ὥσπερ, ὅπως, ὅσον, ὡσεί, ὅπως εἰ, ὡς ἄν, ὥσπερ ἄν, ὥσπερ εἰ, ὥσπερ ἄν εἰ...* (Αυτών συνήθως προηγείται δεικτική αντωνυμία ή επίρρημα). | 1) Με *οριστική*, συνήθως ενεστώτα (πραγματικό γεγονός). 2) Με *υποτακτική ή ευκτική* (υποθετική έννοια), οπότε τα παραβολικά μόρια λαμβάνουν τα υποθετικά εἰ, ἄν, (*ὡς εἰ, ὡς ἄν, ὥσπερ εἰ*). | 1) Ὅπως γιγνώσκετε οὕτω ποιεῖτε. 2) Ἐκέλευε τούς Ἕλληνας ταχθῆναι, ὡς (=καθώς) νόμος ἐστίν αὐτοῖς. 3) Δόξεις δέ τοιαῦτα πράττειν, οἷα περ ἄν τοῖς ἄλλοις πράττουσι βοηθῆς. 4) Ζῇς δέ οὕτως, ὡς οὐδ' ἄν εἷς δοῦλος ὑπό δεσπότῃ μείνειε διαιτώμενος (=εἰ διαιτῷτο). |

## ΚΕΙΜΕΝΟ 59

Τά μέν κατηγορήσων, ὦ ἄνδρες Ἀθηναῖοι, ἀνέβην ἐνθάδε Περικλέους ἀναγκαίου μοι ὄντος καί ἐπιτηδείου καί Διομέδοντος φίλου, τά δ' ὑπεραπολογησόμενος, τά δέ συμβουλεύσων ἅ μοι δοκεῖ ἄριστα εἶναι ἁπάσῃ τῇ πόλει. Κατηγορῶ μέν οὖν αὐτῶν ὅτι μετέπεισαν τούς συνάρχοντας βουλομένους πέμπειν γράμματα τῇ τε βουλῇ καί ὑμῖν ὅτι ἐπέταξαν τῷ Θηραμένει καί Θρασυβούλῳ τετταράκοντα καί ἑπτά τριήρεσιν ἀνελέσθαι τούς ναυαγούς, οἱ δέ οὐκ ἀνείλοντο. Εἶτα νῦν τήν αἰτίαν κοινήν ἔχουσιν ἐκείνων ἰδίᾳ ἁμαρτόντων καί ἀντί τῆς τότε φιλανθρωπίας νῦν ὑπ' ἐκείνων τε καί τινων ἄλλων ἐπιβουλευόμενοι κινδυνεύουσιν ἀπολέσθαι· οὔκ, ἄν ὑμεῖς γέ μοι πείθησθε τά δίκαια καί ὅσια ποιοῦντες καί ὅθεν μάλιστα τἀληθῆ πεύσεσθε, καί οὐ μετανοήσαντες ὕστερον εὑρήσετε σφᾶς αὐτούς ἡμαρτηκότας τά μέγιστα εἰς θεούς τε καί ὑμᾶς αὐτούς.

*(ΞΕΝΟΦΩΝΤΟΣ ΕΛΛΗΝΙΚΑ)*

### ΛΕΞΙΛΟΓΙΟ

Το **άρθρο** *ὁ, ἡ, τό* ήταν κατ' αρχάς **δεικτική αντωνυμία** Σ' αυτή τη χρήση βρίσκεται συχνά και στους Αττικούς πεζογράφους:

*ὁ μέν - ὁ δέ* (σε όλες τις πτώσεις) : *ὁ εἷς - ὁ ἄλλος, οὗτος μέν - οὗτος δέ*
*τό μέν - τό δέ / τά δέ* (επιρρηματικώς) : αφενός μέν - αφετέρου δε.
*πρό τοῦ :* πρό τούτου (τοῦ χρόνου), πρότερον.
*ὁ ἀναγκαῖος* = ο συγγενής
*ὁ ἐπιτήδειος* = ο φίλος, ο οικείος, ο αγαπητός
*ὁ φίλος* = ο προσφιλής, ο αγαπητός.
*ὑπεραπολογοῦμαι (τινός)* = απολογούμαι προς υπεράσπισιν, υπερασπίζομαι (κάποιον).
*μεταπείθω (τινά)* = μεταβάλλω (με την πειθώ) τη γνώμη (κάποιου).
*τά γράμματα (συν. στον πληθ.)* = επιστολή (πρβλ. litterae)
*ἀναιροῦμαι τούς ναυαγούς* = περισυλλέγω τους ναυαγούς
*εἶτα:* **δηλώνει εδώ απροσδόκητη ακολουθία και αντιγραφή** = αλλ' όμως, καί όμως.